www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ ΣΥΝΑΞΕΩΣ ΤΩΝ ΘΑΥΜΑΤΩΝ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΤΩΝ ΕΝ ΚΟΡΑΚΙΑΝΑ ΤΗΣ ΝΗΣΟΥ ΚΕΡΚΥΡΑΣ

ΕΠΙΤΕΛΕΣΘΕΝΤΩΝ



ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΤΕΛΕΥΤΑΙΑ ΚΥΡΙΑΚΗ

ΤΟΥ ΑΥΓΟΥΣΤΟΥ ΕΠΙ ΤΗ ΣΥΝΑΞΕΙ

ΤΩΝ ΘΑΥΜΑΤΩΝ ΤΟΥ ΟΣΙΟΥ

ΠΟΙΗΜΑ
ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
ΔΙΔΑΚΤΟΡΟΣ ΧΗΜΙΚΟΥ

ΑΘΗΝΑΙ 1993

www.tezaurliturgic.ro




*Δημιουργία τῶν ἁγιογράφων Νικ. Θ. Θεοδώνη καὶ Εἰρήνης Βιτουλαδίτου - Θεοδώνη*

**ΣΙΓ΄. — ΠΑΛΛΑΔΙῼ ΔΙΑΚΟΝῼ.**

Κινδυνεύει ἡ ἀνθρωπότης, ὡς τὰ πολλὰ, ἐν μὲν δυσημερίᾳ σωφρονεῖν, ἐν δὲ εὐημερίᾳ παροινεῖν. Καὶ τοῦτο ἐξ ὧν Ἑβραῖοι πεπόνθασιν ἀριδηλότατα δείκνυται. Παρῆλθον μὲν γὰρ τὴν Ἐρυθρὰν θάλασσαν, καὶ οὐδὲν κινδυνῶδες ὑπέμειναν· ἐλθόντες δὲ εἰς τὴν γῆν, ἐναυάγησαν.

*Ἰσιδώρου τοῦ Πηλουσιώτου*
*(Migne PG, 78, 894)*

www.tezaurliturgic.ro




# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΣΥΝΑΞΕΩΣ ΤΩΝ ΘΑΥΜΑΤΩΝ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

## ΤΩΝ ΕΝ ΚΟΡΑΚΙΑΝᾼ ΤΗΣ ΝΗΣΟΥ ΚΕΡΚΥΡΑΣ

## ΕΠΙΤΕΛΕΣΘΕΝΤΩΝ

*Ἡ Ἑορτὴ αὕτη τῆς Συνάξεως τελεῖται τῇ τελευταίᾳ Κυριακῇ τοῦ Αὐγούστου.*

## ΕΝ Τῼ ΜΙΚΡῼ ΕΣΠΕΡΙΝῼ

*Εἰς τὸ "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.*

*Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι*

*Κοσμικὰς ἀρνησάμενος ἡδονὰς ἠκολούθησας τῷ Χριστῷ, Ἰσίδωρε τρισμακάριστε, καὶ ταπεινῶς ῥυθμιζόμενος Αὐτοῦ τοῖς προστάγμασιν οὐρανίων δωρεῶν σκεῦος ὄντως πολύτιμον ἐχρημάτισας· διὰ τοῦτο πιστῶν νῦν αἱ χορεῖαι σὲ γεραίρουσι προφρόνως καὶ τὴν σὴν χάριν*

www.tezaurliturgic.ro


προσμένουσιν.

Ὡς θησαύρισμα ἔνθεον καὶ ἀσύλητον τρόπαιον ἔχει τὴν εἰκόνα σου τὴν πανσέβαστον Κορακιάνα, Ἰσίδωρε, ἡ Ἄνω καὶ γάνυται συγκαλοῦσα ἑορτὴν φωταυγῆ τῆς συνάξεως τῶν θαυμάτων σου, ἃ τελεῖς καθ' ἑκάστην, θεοφόρε, ἐν αὐτῇ τῇ συνεργείᾳ τοῦ παναγίου τοῦ Πνεύματος.

Ἀοράτους ἐποίησας τοὺς εἰς σὲ καταφεύγοντας φόρων τοῖς εἰσπράκτορσι τῇ σῇ χάριτι καὶ ὡς στρουθίον ἐφύλαξας ἐν τῇ τῶν πτερύγων σου σκέπῃ νήπιόν ποτε θῆλυ, μάκαρ Ἰσίδωρε, ὃ κατέλιπεν ἡ γεννήτωρ αὐτοῦ τῇ ἀρωγῇ σου, ἡ ἐχθροῦ τοῦ ἀλλοθρήσκου φυγεῖν τὴν μάχαιραν σπεύδουσα.

Νεανίσκον ἐζώωσας ἄρνας βόσκοντα, ὅσιε, τῆς Κορακιάνας, ὅνπερ κατέκαυσεν ἐν τῇ ἡμέρᾳ τῆς μνήμης σου, Ἰσίδωρε μέγιστε, θανασίμως κεραυνὸς ὀδυρμοῖς τε καὶ κλάμασι τῆς μητρὸς αὐτοῦ οὗς εὐήκοον κλίνων· ὅθεν δήμους τῶν ἀπαύστως ὡς προστάτην σὲ ἀνυμνούντων κατηύφρανας.

Δόξα. Ἦχος α΄.

Τῶν ἀσκητικῶν σου καμάτων φωτὶ φαιδρύνας τὸν βίον σου φῶς τῷ κόσμῳ γέγονας, κατὰ τὸ ρῆμα Κυρίου, Ἰσίδωρε ἀοίδιμε· ὅθεν κληρονόμος γενόμενος τῆς αἰωνίου δόξης χάριν εὗρες θαυμάτων αὐτουργὸς γενέσθαι καὶ ἀντιλήπτωρ πιστῶν θερμότατος· πρέσβευε οὖν, πανένδοξε καὶ θαυματουργὲ Ἰσίδωρε, Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς τῶν τελούντων τὴν τῶν θαυμάτων σου σύναξιν.

Καὶ νῦν. Θεοτοκίον.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων καὶ τῆς Θεοτόκου τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτίρμων.

www.tezaurliturgic.ro


## Ἀπόστιχα.

### Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε, θαυματουργὲ Ἰσίδωρε, βοῶντες τῶν σῶν ἀόκνων πόνων καὶ πλῆθος εὐφημοῦμεν καὶ σὲ ἀεὶ γεραίρομεν.

**Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.**

Βρύσις ὁ σὸς ναὸς ὑπάρχει πολυχεύμων, Ἰσίδωρε, θαυμάτων, ἐξ ἧς ἀντλοῦμεν πάντες σωτηριώδη νάματα.

**Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Ἔχει σε πανσθενῆ προστάτην καὶ μεσίτην πρὸς Κύριον ἡ Ἄνω Κορακιάνα, πάτερ θαυματουργέ, Ἰσίδωρε.

**Δόξα. Τριαδικόν**

Πάτερ σὺν τῷ Υἱῷ καὶ Πνεύματι τῷ θείῳ, λιταῖς τοῦ Ἰσιδώρου εἰρήνευσον τὸν κόσμον, τὸν σὲ ἀεὶ δοξάζοντα.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἔλυσας τὴν ἀρὰν τὴν πάλαι, Θεοτόκε, διάσωσμα τοῦ κόσμου, ἀφράστως συλλαβοῦσα καὶ τέξασα τὸν Κύριον.

**Νῦν ἀπολύεις... τὸ Τρισάγιον.**

**Τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακόν, τὸ "Μακάριος ἀνήρ". Εἰς δὲ τὸ "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους ϛ´ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Τῶν θαυμασίων σου, πάτερ, τὴν θείαν σύναξιν οἱ Κορακιανῖται εὐλαβῶς ἐκτελοῦντες, βοῶμεν· ἐκδυσώπει τὸν Λυτρωτήν, θεοφόρε Ἰσίδωρε, τοῖς σὲ τιμῶσι μελίσμασι μυστικοῖς πέμψαι πᾶσι θεῖον ἔλεος.

Ἐξ ἀδοκήτων κινδύνων λυτροῦ, Ἰσίδωρε, καὶ δυσθυμίας πάσης τοὺς ἀεί σε τιμῶντας καὶ σπεύδοντας εἰκόνα σου τὴν σεπτὴν προσκυνῆσαι τὴν βρύουσαν παντοδαπῶν θαυμασίων ὡς ποταμὸς ἀκατάσχετος ἰάματα.

Ἀλεξανδρείας τὸν γόνον τὸν ἱερώτατον καὶ Πηλουσίου ὄρους τὸν ἀδάμαντα, πάντες, Ἰσίδωρον τὸν θεῖον νῦν ἐκτενῶς ἐπαινέσωμεν, κράζοντες· ἡμῶν προστάτης ὑπάρχεις πανσθενουργὸς ἐν τῷ βίῳ, πνευματέμφορε.

Τῶν ἀρετῶν σου βολίσι πιστοὺς κατηύφρανας ὡς μοναστῶν ἀλείπτης καὶ σοφὸς ποδηγέτης ἁπάντων πρὸς λειμῶνας τοὺς ἐν Ἐδέμ, θεοφόρε Ἰσίδωρε· ὅθεν ἐδέξω ἀξίως παρὰ Θεοῦ τῶν θαυμάτων τὴν ἐνέργειαν.

www.tezaurliturgic.ro


Τούς τῷ ἁγίῳ ναῷ σου, σεπτέ Ἰσίδωρε, τῷ ἐν Κορακιάνᾳ εὐλαβῶς προσιόντες καί μνήμην σου τιμῶντας τήν ἱεράν πολυτρόπων διάσωζε πειρατηρίων πανδείνων καί πειρασμῶν ταῖς πρεσβείαις σου πρός Κύριον.

Οἱ ἐν Κερκύρᾳ σκηνοῦντες τρυφῶσι χάριτος τῆς σοί δοθείσης, πάτερ, δαψιλῶς οὐρανόθεν, Ἰσίδωρε, καί ξένων, ἅπερ τελεῖς ἀπολαύουσι πάντοτε τόν θαυμαστώσαντα Κύριον σέ τρανῶς ἀσιγήτως μεγαλύνοντες.

Δόξα. Ἦχος πλ. β΄.

Ἀνέτειλε σήμερον φαιδρῶς ἡμέρα τῆς συνάξεως τῶν τοῦ σημειοφόρου Ἰσιδώρου θαυμασίων νοηταῖς ἀκτῖσι τούς εὐσεβεῖς καταλάμπουσα· δεῦτε, οὖν ἐν τῷ ναῷ αὐτοῦ συνελθόντες πνευματικῶς πανηγυρίσωμεν καί ταῖς αὐγαῖς τῶν θαυμασίων αὐτοῦ φωτιζόμενοι μεγαλοφώνως βοήσωμεν· Χαίροις, Κορακιάνας καί τῆς περιχώρου φρουρός ἀνύστακτος ἐκ συμφορῶν ὁ ρυσάμενος τούς εὐσεβεῖς αὐτῆς κατοίκους· Χαίροις, ἀζύγων θεοφόρων ὑποτύπωσις, σοφῶν πατέρων ὑπόδειγμα καί τοῦ Παρακλήτου φωταυγές ἐνδιαίτημα· Χαίροις, θαυμάτων ρεῖθρον ἀνεξάντλητον καί κρουνός ἰαμάτων ἀείρροος, ὁ καί νεανίαν κεραυνόπληκτον ζωώσας· πρέσβευε οὖν, ἀξιάγαστε, Χριστῷ τῷ Θεῷ δωρήσασθαι ἡμῖν εἰρηναῖον τόν βίον καί τῆς ἐπουρανίου βασιλείας ἀξιῶσαι τούς τιμῶντάς σε.

**Καί νῦν. Θεοτοκίον. Τό Δογματικόν τοῦ ἤχου.**

**Εἴσοδος. Φῶς ἱλαρόν.**

**Τό Προκείμενον: "Ὁ Κύριος ἐβασίλευσεν..."**

**Καί τά Ἀναγνώσματα.**

www.tezaurliturgic.ro


## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. ΚΣΤ΄ 1 - 19).

Τάδε λέγει Κύριος· Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ τῆς γῆς Ἰούδα· ἰδοὺ πόλις ἰσχυρά, καὶ σωτήριον ἡμῶν θήσει τεῖχος καὶ περίτειχος. Ἀνοίξατε πύλας, εἰσελθέτω λαὸς φυλλάσων ἀλήθειαν, ἀντιλαμβανόμενος ἀληθείας καὶ φυλάσσων εἰρήνην· ὅτι ἐπὶ σοὶ ἐλπίδι ἤλπισαν, Κύριε, ἕως τοῦ αἰῶνος, ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὅς ταπεινώσας κατήγαγες τοὺς ἐνοικοῦντας ἐν ὑψηλοῖς· πόλεις ὀχυρὰς καταβαλεῖς καὶ κατάξεις ἕως ἐδάφους, καὶ πατήσουσιν αὐτοὺς πόδες πραέων καὶ ταπεινῶν. Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. Ἡ γὰρ ὁδὸς Κυρίου κρίσις· ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου καὶ ἐπὶ τῇ μνείᾳ, ᾗ ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα μου πρός σὲ ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπί τῆς γῆς. Πέπαυται γὰρ ὁ ἀσεβής· πᾶς ὃς οὐ, μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει· ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Κύριε, ὑψηλός σου ὁ βραχίων καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήσονται· ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε ὁ Θεός ἡμῶν κτῆσαι ἡμᾶς· Κύριε, ἐκτός σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Οἱ δὲ νεκροί ζωήν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσι· διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. Κύριε, ἐν θλίψει ἐμνήσθην σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν καὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου. Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς· οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ ἀσεβῶν πεσεῖται.

www.tezaurliturgic.ro


## Προφητείας Ἀββακοὺμ τὸ Ἀνάγνωσμα. (Κεφ. Γ΄ 1 - 19)

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην, ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ· ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ διετάκη ἔθνη. Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι. Πορείας αἰωνίας αὐτοῦ ἀντὶ κόπων εἶδον· σκηνώματα Αἰθιόπων πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιάμ. Μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε, ἢ ἐν ποταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου; ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Ἐντείνων ἐντενεῖς τὸν τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος. Ποταμῶν ῥαγήσεται γῆ. Ὄψονταί σε καὶ ὠδινήσουσι λαοί, σκορπίζων ὕδατα πορείας αὐτοῦ· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. Ἐπήρθη ὁ ἥλιος καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· εἰς φῶς βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου. Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν καὶ ἐν θυμῷ κατάξεις ἔθνη. Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τὸν Χριστόν σου· ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, σεισθήσονται ἐν αὐτῇ· διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ἐσθίων πτωχὸς λάθρα. Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντα ὕδατα πολλά. Ἐφυλαξάμην καὶ ἐπτοήθη ἡ κοιλία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου. Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως τοῦ ἀναβῆναι εἰς λαὸν παροικίας μου. Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις· ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν· ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρχουσι βόες ἐπὶ φάτναις. Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. Κύριος ὁ Θεὸς δύναμίς μου καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν· ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με

www.tezaurliturgic.ro


*τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.*

### *Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα. (Κεφ. ΛΣΤ΄ 1 - 17)*

*Ἐλέησον ἡμᾶς, δέσποτα ὁ Θεὸς πάντων καὶ ἐπίβλεψον καὶ ἐπίβαλε τὸν φόβον σου ἐπὶ πάντα τὰ ἔθνη· ἔπαρον τὴν χεῖρά σου ἐπὶ ἔθνη ἀλλότρια καὶ ἰδέτωσαν τὴν δυναστείαν σου. Ὥσπερ ἐνώπιον αὐτῶν ἡγιάσθης ἐν ἡμῖν, οὕτως ἐνώπιον ἡμῶν μεγαλυνθείης ἐν αὐτοῖς· καὶ ἐπιγνώτωσάν σε, καθάπερ καὶ ἡμεῖς ἐπέγνωμεν, ὅτι οὐκ ἔστι Θεὸς πλὴν σοῦ, Κύριε. Ἐγκαίνισον σημεῖα καὶ ἀλλοίωσον θαυμάσια, δόξασον χεῖρα καὶ βραχίονα δεξιόν· ἔγειρον θυμὸν καὶ ἔκχεον ὀργήν, ἔξαρον ἀντίδικον καὶ ἔκτριψον ἐχθρόν. Σπεῦσον καιρὸν καὶ μνήσθητι ὁρκισμοῦ καὶ ἐκδιηγησάσθωσαν τὰ μεγαλεῖά σου. Ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σωζόμενος καὶ οἱ κακοῦντες τὸν λαόν σου εὕροιεν ἀπώλειαν. Σύντριψον κεφαλὰς ἀρχόντων ἐχθρῶν λεγόντων· οὐκ ἔστι πλὴν ἡμῶν. Συνάγαγε πάσας φυλὰς Ἰακώβ, καὶ κατακληρονόμησον αὐτοὺς καθὼς ἀπ᾿ ἀρχῆς. Ἐλέησον λαόν, Κύριε, κεκλημένον ἐπ᾿ ὀνόματί σου καὶ Ἰσραήλ, ὃν πρωτογόνῳ ὡμοίωσας. Οἰκτείρησον πόλιν ἁγιάσματός σου Ἱερουσαλήμ, πόλιν καταπαύματός σου. Πλῆσον Σιὼν ἀρεταλογίας σου καὶ ἀπὸ τῆς δόξης σου τὸν λαόν σου. Δὸς μαρτύριον τοῖς ἐν ἀρχῇ κτίσμασί σου καὶ ἔγειρον προφητείας τὰς ἐπ᾿ ὀνόματί σου. Δὸς μισθὸν τοῖς ὑπομένουσί σε καὶ οἱ προφῆται σου ἐμπιστευθήτωσαν. Εἰσάκουσον, Κύριε, δεήσεως ἱκετῶν σου κατὰ τὴν εὐλογίαν Ἀαρὼν περὶ τοῦ λαοῦ σου, καὶ γνώσονται πάντες οἱ ἐπὶ τῆς γῆς ὅτι σὺ Κύριος εἶ ὁ Θεὸς τῶν αἰώνων.*

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### *Ἰδιόμελα*

### *Ἦχος α΄.*

*Εὐφραίνου Ἀλεξάνδρεια ἡ ἐξάκουστος ἐν τοῖς σπαργάνοις Ἰσιδώρου τοῦ μάκαρος καὶ σὺ Πηλούσιον ὄρος τοιοῦτον ἐξανθήσασα ἴασμον·*

www.tezaurliturgic.ro


νῦν δὲ σκίρτηρον πνευματικῶς Κερκυραίων νῆσος ἡ πάγκαλλος ὡς ἁγίασμα ἔνθεον καὶ ἱλαστήριον πλουτοῦσα αὐτοῦ τὸ Θεῖον τέμενος· ἐν αὐτῷ γὰρ εὐλαβῶς προσερχόμενοι πᾶσαν δόσιν ἀγαθὴν λαμβάνομεν καὶ ἀρυόμεθα νάματα ὑγείας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

### Ἦχος β'.

Τῶν θαυμασίων τὴν αὔλακα τέμνων συμπαθείας καὶ προστασίας καρποὺς ἐξήνεγκας, Ἰσίδωρε θειότατε, Πηλουσίου καύχημα· πλησθεὶς γὰρ Πνεύματος ἁγίου κύαθος διαυγέστατος Αὐτοῦ γέγονας, θεσπέσιε, κιρνῶν πᾶσι νάματα παντοδαπῶν ἰάσεων· δὸς οὖν καὶ ἡμῖν γεύσασθαι ὕδατος σωτηριώδους, ἀσκητὰ πάνσοφε, ἵνα σὺν σοὶ ἀπολαύσωμεν τῆς ἀλήκτου μακαριότητος.

### Ἦχος γ'.

Ταχινὸς ἀρωγὸς ὀφθεὶς τῶν ἐπικαλουμένων σε ἀλλόθρησκον παῖδα ἐξήγαγες ἐκ τοῦ βάθους τοῦ φρέατος καὶ πλείστους ἄλλους ἐξ ἀποκρήμνου φάραγγος ἀβλαβεῖς ἀνέσυρας, ὅσιε· δεῖξον οὖν καὶ ἡμῖν, Ἰσίδωρε θεοφόρε, συμπαθείας σου τὸ ἄμετρον καὶ ἐξ ἄγχους ἐπωδύνου, θλίψεων, καὶ τῆς τοῦ δαίμονος ἐπηρείας ἀπάλλαξον τοὺς ὡς ῥύστην σε γεραίροντας.

### Ἦχος δ'.

Τοῖς παραδόξοις σου θαύμασι καὶ σημείοις ἐξέπληξας τοὺς ἐν δροσοβόλῳ Κερκύρᾳ οἰκοῦντας, Ἰσίδωρε, θαυματόβρυτε Πηλουσιῶτα· ἐγκαταλελειμμένον γὰρ κοράσιον ἔθηκας ὑπὸ τὴν σωστικὴν προστασίαν σου καὶ ἐκ φρέατος ἀνέσυρας παῖδα υἱὸν ἀλλοθρήσκου· θαυμαστὸς οὖν ὀφθεὶς τοῖς πᾶσι, θεοφορούμενε, καταπείθεις ἄχρι τοῦ νῦν δοξάζειν τὸν Κύριον πάντας τοὺς ἀπεκδεχομένους τὴν χάριν σου.

www.tezaurliturgic.ro


**Δόξα. Ὁ αὐτός.**

Τὸν ἐν ἀσκηταῖς περίδοξον καὶ ἐν θαύμασι περιβόητον, Ἰσίδωρον τὸν παμμέγιστον, ἱεροπρεπῶς μελῳδήσωμεν· ἐκ Θεοῦ γὰρ χάριν εἴληφεν ὡς ἀντίδωρον τῶν ἑαυτοῦ καμάτων πιστοὺς προστατεύειν καὶ στένοντας ἐκ δεινῶν ἀναψύχειν· αὐτῷ καὶ ἡμεῖς πανευλαβῶς βοήσωμεν· ταπεινώσεως μυροδοχεῖον, εὔφρανον ἡμᾶς θαυμασίων σου τῷ μύρῳ καὶ δεῖξον ἀρετῶν ὀσφράδιον τοὺς τιμῶντας σε.

**Καὶ νῦν. Θεοτοκίον.**

**Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...**

**Εἰς τὸν Στίχον.**
**Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίρει, πανσθενοργόν σε φρουρὸν Κορακιάνα καὶ προστάτην κατέχουσα ἐν πάσαις τοῦ βίου δίναις καὶ συμφοραῖς, ἀσκητά, Πηλουσίου, ὄρους ἐγκαλλώπισμα· διὸ καὶ προστρέχουσα τῷ πανσέπτῳ τεμένει σου νῦν ἀπολαύει δαψιλῶς τῆς σῆς χάριτος καὶ κραυγάζει σοι, θεοφόρε Ἰσίδωρε· πρόφθασον βοηθῆσαί μοι καὶ κόπασον τάραχον παθῶν μου, ἵνα δοξάζω τὴν ἀεισέβαστον μνήμην σου, ὁ σώσας με πάλαι ἐκ τῶν φόρου εἰσπρακτόρων τῶν πιεζόντων με.

**Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.**

Χαίρει, ἐν εὐφροσύνῃ πολλῇ Κορακιάνα κεκτημένη σε, ὅσιε Ἰσίδωρε, θεῖον γέρας καὶ ἐν κινδύνου καιρῷ ταχινὸν τῷ ὄντι ἀντιλήπτορα· κατοίκους γὰρ ἔσωσας εὐσεβεῖς ταύτης χάριτι τῇ σῇ δοθείσῃ διαφόροις ἐν ἔτεσιν οὓς εὐήκοον ταῖς αὐτῶν παρακλήσεσι κλίνων, σοφίας μάργαρον, χρηστότητος ἄγαλμα καὶ ἀσκουμένων πατέρων φωτοειδέστατον τέμενος· διὸ νῦν γεραίρει θαυμασίων σου τῶν πλείστων τὴν θείαν σύναξιν.

www.tezaurliturgic.ro


**Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Παῖδα ἀλλοδαπόν, ἀσκητά, τὸν προσκυνήσαντα ναόν σου τὸν πάνσεπτον ἐν κώμῃ Κορακιάνας τῆς τῶν Φαιάκων κλεινῆς νήσου καὶ πεσόντα εἰς βαθύτατον, Ἰσίδωρε, ὄρυγμα ἐκ θανάτου διέσωσας βαστάσας τοῦτον ἐν χερσὶν ἀσφαλέστατα ταῖς τιμίαις σου, Πηλουσίου ὀσφράδιον· ἄλλον αὖθις κοράσιον εὐσπλάγχνως διέτρεφες, ὅπερ μητρός ἀσπλαγχνία τῷ σῷ ναῷ ἐγκατέλιπεν ἐν τῇ προσπάθειᾳ τῇ αὐτῆς φυγεῖν ἐκγόνων τῆς Ἄγαρ μάχαιραν.

**Δόξα. Ἦχος πλ. α΄.**

Τῶν τεραστίων σου τὴν πλήμμυραν τίς διηγήσεται, πατέρων ἀκροθίνιον, Ἰσίδωρε τρισμακάριστε; ἀσκητὴς γὰρ ἐννομότατος ἀναδειχθεὶς χάριν ἄφθονον εἴληφας αὐτουργὸς γενέσθαι θαυμάτων ποικίλων· Κορακιάνα ὅθεν ἀπολαύουσα τῆς σῆς χάριτος δοξάσει σε τὰς λιτάς σου ζητοῦσα πρὸς Κύριον.

**Καὶ νῦν. Θεοτοκίον.**

**Μακαρίζομεν σε, Θεοτόκε Παρθένε...**

**Νῦν ἀπολύεις... τὸ Τρισάγιον**

**Ἀπολυτίκιον**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Κονίστραν ὡς πάνσεπτον τῶν σῶν ἀγώνων σοφῶς τὸ ὄρος ἐπέλεξας τοῦ Πηλουσίου, σεπτὲ Ἰσίδωρε ὅσιε· ὅθεν ὡς θεῖον δῶρον ἐνεγκὼν τῷ Κυρίῳ τῆξιν τοῦ σοῦ σαρκίου χάριν εἴληφας, κλέος Αἰγύπτου, ἱκετεύειν Αὐτὸν σώζειν σοὺς πρόσφυγας.

www.tezaurliturgic.ro


*Ἕτερον. Ὁ αὐτός.*

*Θαυμάτων σου σύναξιν Κορακιάνα λαμπρῶς, Ἰσίδωρε ὅσιε, ἐπιτελοῦσα ὑμνεῖ τὸν σὲ μεγαλύναντα· πρόφθασον οὖν κραυγάζει ἐν παντοίαις ἀνάγκαις, ἄγαλμα συμπαθείας, καὶ ἐκ βλάβης με σῶσον δολίας τοῦ βεβήλου ἐχθροῦ, τοῦ πολεμοῦντός με.*

*Θεοτοκίον*

*Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...*

*Ἀπόλυσις.*



**ΡΞΗ'. — ΕΥΤΟΝΙῼ ΔΙΑΚΟΝῼ.**

Ὁ τὸ πρέπον, ὦ σοφώτατε, μὴ προδιδοὺς, οὐδεπώποτε ὑπὸ τῆς θείας συμμαχίας προδοθήσεται.

*Ἰσιδώρου τοῦ Πηλουσιώτου*
*(Migne PG 78, 681)*

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΟΡΘΡΩ

*Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.*

*Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Τὴν σύναξιν λαμπρῶς τῶν θαυμάτων τελοῦντες τοῦ θείου ἀσκητοῦ Ἰσιδώρου ἐν νήσῳ Κερκύρας ἐφύμνιον νῦν προσάγομεν μέλισμα τῷ δοξάζοντι Αὐτοῦ τοὺς φίλους Κυρίῳ καὶ θαυμάσια ἐπιτελεῖν ἀξιοῦντι Αὐτὸν τοὺς λατρεύοντας.

*Δόξα. Τὸ αὐτό.*

*Καὶ νῦν. Θεοτοκίον.*

Παλάτιον Χριστοῦ φωτοφόρον, Παρθένε, ὑπάρχουσα, σεμνή, τὴν δεινῶς σκοτισθεῖσαν ψυχήν μου πλείστοις πάθεσιν ἀποκάθαρον, δέομαι, καὶ καταύγασον αὐτὴν φωτὶ τοῦ Υἱοῦ σου, ἀνατείλαντος ἐκ τῆς τιμίας γαστρός σου καὶ κόσμον φωτίσαντος.

*Ἀντὶ Ἀμώμου τὸν Πολυέλεον, μεθ' ὃν τὰ Εὐλογητάρια, Συναπτὴ μικρά, ἡ Ὑπακοὴ τοῦ ἤχου καὶ τὸ Κάθισμα τοῦ Ὁσίου.*

www.tezaurliturgic.ro


**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Πιστῶν ἐχρημάτισας θαυματουργός ἀρωγὸς καὶ ῥύστης, Ἰσίδωρε, ἐν ταῖς τοῦ βίου ἡμῶν δειναῖς περιστάσεσιν· ὅθεν ταῖς σαῖς πρεσβείαις καταφεύγοντες πάντες ῥῶσιν ἀεὶ ἀντλοῦμεν καὶ ψυχῶν εὐρωστίαν· διὸ σε στεντορείᾳ φωνῇ, πάτερ, γεραίρομεν.

*Θεοτοκίον*

Ὡς ἄνθος πανεύοσμον τὸν φυτουργὸν τῆς ζωῆς, Ἁγνή, ἀνεβλάστησας ὑπερφυῶς· ὅθεν νῦν ὀσμὴν τὴν σωτήριον, ἥνπερ ἐμπνέεις, πάντες, ἀπολαύοντες ὕμνον πλέκομεν τῇ σῇ δόξῃ χαριστήριον, Μῆτερ πανάσπιλε, φθορᾶς τῶν βροτῶν ἀλεξιτήριον.

**Τὰ Ἀντίφωνα τοῦ ἤχου, τὸ Ἀναστάσιμον Προκείμενον, τὸ Ἑωθινὸν Εὐαγγέλιον καὶ τὰ λοιπὰ ὡς συνήθως ἐν ταῖς Κυριακαῖς.**

Εἶτα οἱ Κανόνες, ὁ Ἀναστάσιμος, τῆς Θεοτόκου καὶ τοῦ Ὁσίου ὁ ἑξῆς, οὗ ἡ ἀκροστιχίς:

**"ΙΣΙΔΩΡΟΥ ΘΑΥΜΑΣΙΑ ΚΟΡΑΚΙΑΝΑ ΛΑΛΕΙ ΠΑΣΙ. Χ."**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ἱκάνωσον, Κύριε, τὸν πολυτλήμονα δοῦλόν σου ᾠδῶν θείων ἄνθεσιν ἐγκωμιάσαι φαιδρῶς τὰ θαυμάσια ὁσίου Ἰσιδώρου σοφίας τῆς ἄνωθεν ὄντως ἀνάπλεως.

Σεμνύνεται, πάνσοφε, Κορακιάνα τὸ τέμενος τὸ θεῖόν σου ἔχουσα ἐν τοῖς ὁρίοις αὐτῆς καὶ ἀγάλλεται τὴν μνήμην σου τελοῦσα, Ἰσίδωρε ὅσιε, τὴν ἀεισέβαστον.

www.tezaurliturgic.ro


Ἰσίδωρε, σήμερον τῶν φοβερῶν ἑορτάζοντες θαυμάτων σου σύναξιν, ὥνπερ ἀπαύστως τελεῖς μεγαλύνομεν οἱ Κορακιανῖται τὸν σὲ θαυμαστῶντα Κτίστην καὶ Κύριον.

Δυνάμει τοῦ Πνεύματος τοῦ Παναγίου, Ἰσίδωρε, φρουρὸς ἀκλινέσταστος καὶ παραστάτης ταχὺς τῶν τιμώντων σε καὶ ἐπικαλουμένων τὸ σὸν θεῖον ὄνομα πέλεις ἑκάστοτε.

Θεοτοκίον

Ὡραΐσμα πάνσεπτον τῶν ἀσκητῶν, Μητροπάρθενε, καὶ γένους διάσωσμα τῶν χοϊκῶν ἐκτενῶς, ὅνπερ ἔτεκες ἀφράστως ἐκδυσώπει διδόναι μετάνοιαν σὲ τοῖς γεραίρουσι.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ῥανίδας θαυμάτων ἐπομβρίσας τῇ κώμῃ Κορακιανιτῶν καρδίας ἐγεώργησας κεχερσωμένας, ὅσιε Ἰσίδωρε, καὶ Κύριον αὐτὰς δοξάζειν κατέπιθες.

Ὑπήνεμος τῶν θαλαττευόντων ἐν βίου τοῖς κλύδωσι λιμήν, Ἰσίδωρε μακάριε, καὶ ὅρμος ὤφθης εὔδιος· διὸ καὶ τῇ σῇ χάριτι ἐν πειρασμοῖς καταφεύγομεν.

Θησαύρισμα τῆς Κορακιάνας, παιδίσκην ἐκ μήνιδος ἐχθροῦ Ἀγαρηνῶν διέσωσας καὶ θαυμαστῶς διέθρεψας, ἣν σοὶ μητρός, Ἰσίδωρε, ἡ ἀσπλαγχνία κατέλιπεν.

Θεοτοκίον

Ἁγία ἁγίων ὑπερτέρα, σεμνή, Πλατυτέρα οὐρανῶν, τῇ μητρικῇ πρεσβείᾳ σου πρὸς τὸν Υἱόν σου σπεύδομεν καὶ τάχος ἐκλυτρούμεθα τῆς ἐπηρείας τοῦ δαίμονος.

www.tezaurliturgic.ro


## Τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς Κυριακῆς καὶ τὸ Κάθισμα τοῦ Ὁσίου.

### Ἦχος γ΄. Τὴν ὡραιότητα.

Λιμὴν ἀχείμαστος ὁ θεῖος οἶκός σου, παμμάκαρ, δέδεικται, εἰς ὃν προστρέχοντες ἐν τρικυμίαις χαλεπαῖς τοῦ βίου ἀεί γαλήνης ψυχικῆς πληρούμεθα, θεοφόρε Ἰσίδωρε, καὶ τὸν σὲ ἰσχύσαντα μεγαλύνομεν Κύριον βοῶντες· συμπαθείας ἀκρότης, χαῖρε, καὶ ῥεῖθρον εὐσπλαγχνίας.

### Θεοτοκίον

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον φωτὶ τῆς χάριτος τοῦ θείου τόκου σου, ἁγνὴ Παρθένε Μαριάμ, Ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

### Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὕδωρ βλύσον ἀφθαρσίας τοῖς ἀπαύστως, Ἰσίδωρε, σοῦ ὑμνολογοῦσιν, ἃ ἐπιτελεῖς ξένα πάντοτε, ἐν Κερκυραίων τῇ νήσῳ καὶ προστρέχουσι τῷ τεμένει σου ὡς εἰς κρουνὸν ἁγιάσματος.

Μονοτρόπων ὑφηγῆτορ, περισκέπεις ἑκάστοτε Κορακιανίτας τοὺς ἐκδεχομένους τὴν χάριν σου καὶ ὡς κυψέλην κυκλοῦντας τὸ σὸν τέμενος τὸ πανίερον, σεπτὲ Ἰσίδωρε, μέλισσαι.

Ἀοράτως οὐρανόθεν ὑποδούλους ἐκάλυπτες ἐκ τῶν εἰσπρακτόρων φόρου βαρυτάτου τοὺς σπεύδοντας εἰς τὸν ναόν σου τὸν πάγκαλον, Ἰσίδωρε, καὶ τὴν θείαν σου ἐπιζητοῦντας ἀντίληψιν.

www.tezaurliturgic.ro


### Θεοτοκίον

Σῷζε πάντας, Θεοτόκε ὑπερύμνητε Δέσποινα, τοὺς ἀθροιζομένους ᾧδε ὕμνοις στέψαι τὸν ὅσιον, σημειοφόρον Ἰσίδωρον, καὶ ᾄσμασι τὸν ὑπέρτιμον μέλψαι Υἱόν σου καὶ Κύριον.

### Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἰσίδωρε ὅσιε, ὑπερφυῶς ἀνέβλεψε τὸ δεκαετὲς παιδίον πάλαι ἐκ Σωκρακίου σῇ πανσθενεῖ ἀρωγῇ, ἀόμματον τρεῖς ἐνιαυτοὺς πέλον καὶ τὴν χάριν σου πᾶσι χαῖρον ἐκήρυττε.

Ἀζύγων καλλώπισμα, ᾠδὰς ἀγγέλων ἤκουον οἱ διακονῆσαι τῷ ναῷ σου ἐν τῇ σῇ μνήμῃ ἐλθόντες καὶ λειτουργοῦ ἀγνώστου φωνὴν τὸν Λυτρωτὴν ἔνδον τοῦ τεμένους σου ἀνυμνοῦσαν, Ἰσίδωρε.

Κακώσεων, ὄλβιε, τὸν ἔφιππον, Ἰσίδωρε, χωρικὸν ἀπήλλαξας καὶ βλάβης, τὸν ἐμπεσόντα πλησίον τοῦ σοῦ ναοῦ εἰς τάφρον ἀπόκρημνον, τῇ σῇ οὐρανόθεν χάριτι, ἣν ἀφθόνως ἀπείληφας.

### Θεοτοκίον

Ὁλόφωτον σκήνωμα τοῦ Λόγου, Μητροπάρθενε, λύχνον ἐσβεσμένον τῆς ψυχῆς μου ταῖς σαῖς πρεσβείαις διάναψον καὶ πρὸς φῶς ἀμέμπτου με ἴθυνον ζωῆς, ἵνα λαμπρυνόμενος εὐλαβῶς μακαρίζω σε.

### Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ῥυσθῆναι, μάκαρ Ἰσίδωρε, τοὺς σοὶ προσερχομένους ἱκάνωσον βεβήλων πράξεων καὶ συνηθείας τῆς χείρονος ὡς ἀγαθὸς προστάτης καὶ ῥύστης τάχιστος.

www.tezaurliturgic.ro


*Ἀζύγων κλέος, ἀνέσυρας ὡς ἄγγελος καλὸς ἐκ τοῦ φρέατος παῖδα ἀλλόθρησκον ἐν ξένῃ χώρᾳ, τὸν πρότερον τὸν ἱερὸν ναόν σου ἐπισκεψάμενον.*

*Κλαυθμοὺς ὁρῶν καὶ τὰ δάκρυα μητρὸς υἱοῦ ποιμένος ἐζωώσας τὸ κεραυνόπληκτον αὐτῆς παιδάριον χάριτι τῇ σῇ δοθείσῃ, πάτερ, σοφὲ Ἰσίδωρε.*

### Θεοτοκίον

*Ἰσχὺς πιστῶν καὶ κραταίωμα ὑπάρχεις, ὑπεράμωμε Δέσποινα· διὸ προστρέχοντες ταῖς ῥυπτικαῖς σου ἐντεύξεσι πρὸς τὸν Θεὸν τροποῦμεν τὸν παναλάστορα.*

### Κοντάκιον.
### Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

*Ἀλεξανδρείας τὸ πανίερον ἐκβλάστημα καὶ Πηλουσίου ὄρους φοίνικα ὑψίκομον, μοναζόντων τὸν κανόνα καὶ σωφροσύνης τὴν κρηπῖδα ἐγκωμίων νῦν τοῖς ἄνθεσι καταστέψωμεν γηθόμενοι κραυγάζοντες πνευματέμφορε, χαῖρε, μάκαρ Ἰσίδωρε.*

### Ὁ Οἶκος

*Ἄγγελος συμπαθείας, ἀρωγῆς ταχυτάτης ἐπώφθης καὶ θερμῆς βοηθείας, Πηλουσίου σεμνὲ ἰατρὲ καὶ Κερκύρας πάσης σταθερὸν τείχισμα· διὸ σε πάντες μέλποντες φωνοῦμεν ἐκ ψυχῆς τοιαῦτα·*

*Χαῖρε, ὁ στῦλος τῆς εὐσπλαγχνίας,*
*χαῖρε, τὸ τεῖχος τῆς εὐσεβείας·*
*Χαῖρε, Κερκυραίων φρουρὸς ὁ θεόσδοτος,*
*χαῖρε ἱερέων ὁ λύχνος ὁ πάμφωτος·*
*Χαῖρε, μέγας ἐν τοῖς θαύμασι καὶ εἰς ἀρωγὴν ταχύς,*

www.tezaurliturgic.ro


χαῖρε, κέρας θείας νήψεως καὶ ἀκρότης προσευχῆς·
Χαῖρε, ὅτι παιδίσκην τῇ σῇ χάριτι σκέπεις,
χαῖρε, ὅτι ἐκ δίνης τοὺς ἱκέτας σου ῥύῃ·
Χαῖρε, πολλῶν στενόντων ἀνάψυξις,
χαῖρε, δεινῶς νοσούντων ἡ ἴασις·
Χαῖρε, πρηστὴρ τοῦ ἐχθροῦ τοῦ βεβήλου,
χαῖρε, δοτὴρ χαρμονῆς θεοσδότου·

**Χαῖρε, μάκαρ Ἰσίδωρε.**

*Συναξάριον*

**Πρῶτον τὸ τοῦ Μηναίου καὶ εἶτα τὸ ἑξῆς.**

Τῇ τελευταίᾳ Κυριακῇ τοῦ μηνὸς Αὐγούστου μνείαν ποιούμεθα τῶν ἐπιτελεσθέντων ἐν διαφόροις χρόνοις θαυμασίων ὑπὸ τοῦ ἐν ὁσίοις πατρὸς ἡμῶν Ἰσιδώρου τοῦ Πηλουσιώτου ἐν τῷ αὐτοῦ τεμένει τῷ κειμένῳ ἐν τῇ Ἄνω Κορακιάνᾳ τῆς νήσου Κερκύρας.

*Στίχοι.*

**"Κηρύττουσα σὰ θαύματα ὕμνων μύροις**
**Κορακιάνα ῥαίνει σε, Ἰσίδωρε."**

**Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός,**
**ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει**

Ἀκατάβλητος προστάτης τῶν τιμώντων σε, ὤφθης, ὅσιε· σὺ γὰρ δεινῶν χαλεπῶν καὶ βλάβης ἑκάστοτε, σοφὲ Ἰσίδωρε, σώζεις ἅπαντας τοὺς εὐλαβῶς προστρέχοντας τῷ ἁγίῳ τεμένει σου.

Νύκτα θλίψεων καὶ ζόφον ἀπογνώσεως ἐλαύνων τάχιστα φῶς ἀνατέλλεις ἡμῖν, παμμάκαρ, Ἰσίδωρε, τοῖς προσκυνοῦσί σε καὶ

www.tezaurliturgic.ro


πρεσβείας σου τὰς σωστικὰς πρὸς Κύριον τὸν Θεὸν ἐπιζητοῦσιν.

Ἀδαπάνητον ταμεῖον ἀντιλήψεως ὀφθείς, Ἰσίδωρε, Κορακιάνας λαοῦ προστάτην σε ἔγνωμεν τὸν διασώσαντα ὀλισθήσαντας εἰς τὸ κρημνῶδες βάραθρον ἵππον καὶ τὸν ἀναβάτην.

Θεοτοκίον.

Λῦσον, Ἄνασσα, εὐλογημένη Δέσποινα, καὶ κόσμου κλεῖσμα δεσμοὺς ἀνόμους ἡμῶν καὶ ἔω ἐλεύθερον σοῖς δούλοις χάραξον, ἵνα ᾄδωσιν ἀδιαλείπτως πλῆθος σου θαυμασίων, Θεοτόκε.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἅπασιν, Ἰσίδωρε, παρέχεις τοῖς σοῦ προσκυνοῦσι τὸ ἐκτύπωμα ῥῶσιν, ἀξιάγαστε, οὐρανόθεν δύναμιν, χαρὰν ὑγείαν πάντοτε καὶ πολυπόθυτον, εἰρήνην, Πηλουσίου φαιδρότης, καὶ τῆς ἐναρέτου ἀσκήσεως βιβλίον.

Λύπης ἀπετάξω τὴν ὁμίχλην ἐκ χήρας τῆς γυναικός, σεπτὲ Ἰσίδωρε, εὐαγγελιζόμενος ταύτῃ τὴν διάσωσιν αὐτῆς τέκνου, ὅσιε, ὅπερ κατέλιπε τῇ σῇ ἐπισκοπῇ καὶ προνοίᾳ φεύγουσα τὴν μῆνιν υἱῶν στυγνῶν τῆς Ἄγαρ.

Ἔσωσας δυνάμει σου τῇ θείᾳ δικύκλου τὸν νεανίσκον ἐπιβαίνοντα, τὸν πεσόντα κάτωθεν τῆς γεφύρας, σύμβολον Κορακιάνας πάνσεπτον, ὃν ἀβλαβέστατον παρέδωκας καὶ σῶον γονεῦσι τοῖς αὐτοῦ ὑμνοῦσι θαυμάτων σου τὸ πλῆθος.

Θεοτοκίον

Ἵνα σε, Παρθένε, μεγαλύνω τὰ ἄναγνα χείλη μου ὑπάνοιξον καὶ φωνήν μοι δώρησαι στεντορίαν, Ἄνασσα, τοῦ μέλπειν τὰ θαυμασία

www.tezaurliturgic.ro


τῆς σῆς κυήσεως καὶ τόκον σου τὸ θεῖον δοξάζειν εἰς αἰῶνας πόθῳ αἰώνων, Θεοτόκε.

## Ὠδὴ θ΄. Ἅπας γηγενής.

Πρόσδεξαι ἡμῶν δεήσεις, Ἰσίδωρε, ἃς νῦν προσάγομεν σοὶ καὶ περιτείχεισον τοὺς σοὺς ἱκέτας ἐκ τῆς ἀλάστορος ἐπιβουλῆς, τρισόλβιε, ἵνα δοξάζωμεν, θησαύρισμα εὐχῆς ἀενάου, σὲ ἀκαταπαύστως εἰς πάντας τοὺς αἰῶνας.

Ἄγγελος σεπτὸς ὑπάρχεις, Ἰσίδωρε, καὶ φύλαξ ἄγρυπνος τῶν ὑμνολογούντων σε καὶ ἐκζητούντων τὴν σὴν ἀντίληψιν, σοφῶν πατέρων καύχημα, Αἰγύπτου σέμνωμα, λαμπρότης Πηλουσίου τοῦ ὄρους καὶ Κορακιάνας τῆς κώμης ἀντιλῆπτορ.

Σῶσαι, ἀσκητῶν κρηπίδωμα τίμιον, τὸν ὑμνηπόλον σου καὶ ψαλμῶν τὴν δέσμην μου, ἣν σοὶ ἐφέσει ψυχῆς ἐξύφηνα, Ἰσίδωρε θειότατε, κραυγάζω, πρόσδεξαι ὡς μύρον τῇ ἁγίᾳ σου μνήμῃ καὶ ἀνθέων στέφος τῷ ἀκραιφνεῖ σου βίῳ.

Ἴασιν ἡμῖν καὶ χάριν καὶ ἔλεος βλῦσον τοῖς σπεύδουσι εἰς ναὸν τὸν θεῖόν σου ἐν τῇ Κερκύρᾳ, σοφέ, τὸν κείμενον καὶ παῦσον ἀῤῥωστήματα τὰ χαλεπώτατα, Ἰσίδωρε, πανέντιμον εὖχος τῆς Κορακιάνας καὶ πάσης Ἐκκλησίας.

### Θεοτοκίον

Χάριν τοῖς βροτοῖς θελήσας ὁ τόκος σου καὶ πάντων Κύριος δοῦναι, Ἀειπάρθενε, ἀμπλακημάτων ἐν σοὶ ἐσκήνωσε καὶ κόσμῳ σεσωμάτωται σχίσας χειρόγραφον ἡμῶν τῶν σὲ ἀεὶ γεραιρόντων καὶ Αὐτὸν εἰς πάντας αἰῶνας δοξαζόντων.

**Ἅγιος Κύριος... καὶ τὸ Ἀναστάσιμον Ἐξαποστειλάριον.**
**Εἶτα τοῦ Ὁσίου τὸ ἑξῆς.**

www.tezaurliturgic.ro


Γυναῖκες ἀκουτίσθητε.

Αὐγαῖς τῶν θαυμασίων σου φωτίζεις, ὁσιώτατε, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ἀγάπης θείας ταμεῖον καὶ λύχνε ταπεινώσεως, Ἰσίδωρε παμμέγιστε, πυρσεύεις δὲ σῇ χάριτι τῇ πανσθενεῖ ἐξαιρέτως Κορακιάναν τὴν Ἄνω.

Θεοτοκίον

Ἐπιστητοῦ τὸν Κύριον παντὸς καὶ Κτίστην, Δέσποινα, τῶν ποιημάτων ἁπάντων τέξασα κόσμῳ δυσώπει φωτίσαι τὴν καρδίαν μου ἀκτῖσιν ἀγαπήσεως καὶ μίσους ζόφον τάχιστα ἀποδιῶξαι, ἀγάπης τῆς αἰωνίου γεννῆτορ.

Εἰς τοὺς Αἴνους.
Ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν Ἀναστάσιμα τοῦ ἤχου δ΄ καὶ τοῦ Ὁσίου δ΄ τὰ ἑξῆς.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ ἱερὲ Ἰσίδωρε, ποιμένος παῖδα ταχὺ κεραυνόπληκτον ἔσωσας ὑπακούων, ὅσιε, ταῖς μητρὸς παρακλήσεσιν αὐτοῦ καὶ Κτίστην ἡμῶν κατέπιθες αὐτοὺς δοξάζειν τὸν σὲ ἰσχύσαντα ξένα τεράστια, ἐγκρατείας ἄγαλμα, ἐπιτελεῖν καὶ παρέχειν πάντοτε πιστοῖς τὰ πρόσφορα.

Πάτερ ἱερὲ Ἰσίδωρε, ἐκ τῶν τῆς Ἄγαρ υἱῶν τῆς μαχαίρας ἐφύλαξας νεαρὸν κοράσιον ἐν τῷ οἴκῳ σου ἄτρωτον καὶ ὥσπερ μήτηρ αὐτοῦ φιλόστοργος χρεὼδη πάντα πρὸς ζῆν προσήνεγκας ὕδωρ γλυκύτατον, καὶ τροφὴν κατάλληλον, θαυματουργέ, τοῦ σεπτοῦ Σπυρίδωνος ἐν πόλῳ σύνοικε.

Πάτερ ἱερὲ Ἰσίδωρε, Κορακιάνα λαλεῖ πανταχοῦ τὰ θαυμάσια, ἃ τελεῖς ἑκάστοτε τοῖς πιστῶς εὐφημοῦσί σε καὶ τῷ ναῷ σου τῷ θείῳ σπεύδουσα ὡς εἰς θαυμάτων κρουνὸν ἀείρροον ὕδωρ ἰάσεων συμπαθείας

www.tezaurliturgic.ro


ἅμα τε καὶ ἀρωγῆς δαψιλῶς, πανεύφημε, ἀεὶ ἀρύεται.

Πάτερ ἱερὲ Ἰσίδωρε, τὴν σὴν πατρίδα λιπὼν καὶ ἁπάντων ὑπέρτερος τῶν φθαρτῶν δεικνύμενος θεολήπτῳ φρονήματι τοῦ Πηλουσίου ὄρος κατέλαβες, ἐξ οὗ πρὸς ὕψος ἐπήρθης ἄρρητον, ἵνα τοὺς σπεύδοντας περισκέπῃς, ὅσιε, ταῖς σαῖς λιταῖς καὶ φρουρῇς τοὺς ᾄδοντας τὴν σὴν ἐνάσκησιν.

**Δόξα. Ἦχος πλ. α΄.**

Ὅσιε πάτερ Ἰσίδωρε, τὸν ταπεινώσαντα ἑαυτὸν δι' ἡμᾶς μιμούμενος Κύριον καὶ ταπεινώσεως δοχεῖον τιμαλφὲς γενόμενος θαυμάσια ἐπιτελεῖν ὡς ταπεινὸς εὗρες χάριν· ὅθεν Κορακιάνα ἡ ἀπολαύουσα τῆς σῆς προστασίας κηρύττει πανταχοῦ τὴν εὔνοιαν καὶ πανηγυρίζουσα τὴν σὴν μνήμην Χριστὸν δοξάζει τὸν δοξάσαντά σε, Πηλουσίου ἐγκαλλώπισμα.

**Καὶ νῦν. Θεοτοκίον.**

**Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε...**

**Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.**



www.tezaurliturgic.ro



# ΕΝ ΤΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

*Τὰ συνήθη.*
*Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς τυχούσης Κυριακῆς.*

*Μεγαλυνάρια*

*Χαίροις Πηλουσίου ὁ οἰκιστής. Χαίροις Κορακίου Χαριτόβρυτος παροχεύς, καὶ ἡμῶν πάντων καταφυγὴ καὶ κλέος· διὸ σὲ ἀνυμνοῦμεν, Ἰσίδωρε ἔνδοξε.*

*Δῶρον τῷ Κυρίῳ προσενεγκὼν τῶν κατορθωμάτων πλημμυρίδα σου, ἀσκητά, εἴληφας ἐξ ὕψους ἀντίδωρον παρέχειν τὰς σωτηρίους δόσεις πᾶσιν, Ἰσίδωρε.*

*Κοινωνικόν. "Αἰνεῖται τὸν Κύριον..."*

*Δίστιχον*
*Ἀνθ' ὧνπερ θαυμασίων τελεῖ Ἰσίδωρος*
*Χαραλάμπης αὐτὸν ἔρρανεν ᾄσμασι.*

ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ

